# Ἰωάννου Β

Ὁ πρεσβύτερος ἐκλεκτῇ[1] κυρίᾳ[2] καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ 1
ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν
ἀλήθειαν, διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ᾽ ἡμῶν 2
ἔσται εἰς τὸν αἰῶνα: ἔσται μεθ᾽ ἡμῶν χάρις, ἔλεος,[3] εἰρήνη παρὰ θεοῦ 3
πατρός, καὶ παρὰ κυρίου Ἰησοῦ χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός, ἐν
ἀληθείᾳ καὶ ἀγάπῃ.

Ἐχάρην λίαν[4] ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, 4
καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. Καὶ νῦν ἐρωτῶ σε, 5
κυρία,[2] οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν, ἀλλὰ ἣν εἴχομεν ἀπ᾽
ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα 6
περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. Αὕτη ἐστὶν ἡ ἐντολή, καθὼς
ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε. Ὅτι πολλοὶ πλάνοι[5] 7
εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες[6] Ἰησοῦν χριστὸν
ἐρχόμενον ἐν σαρκί. Οὗτός ἐστιν ὁ πλάνος[5] καὶ ὁ ἀντίχριστος.[7] 8
Βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν[8]
πλήρη[9] ἀπολάβωμεν.[10] Πᾶς ὁ παραβαίνων[11] καὶ μὴ μένων ἐν τῇ 9
διδαχῇ τοῦ χριστοῦ, θεὸν οὐκ ἔχει: ὁ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ,
οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ 10

[1] ἐκλεκτός, chosen, elect. [2] κυρία, ας, ἡ, lady, mistress. [3] ἔλεος, ους, ὁ, pity, mercy. [4] λίαν, greatly, very. [5] πλάνος, deceiver, misleading. [6] ὁμολογέω, confess, profess. [7] ἀντίχριστος, ου, ὁ, antichrist. [8] μισθός, οῦ, ὁ, wages, reward. [9] πλήρης, full. [10] ἀπολαμβάνω, receive from, get back. [11] παραβαίνω, go aside, transgress.

ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ
χαίρειν αὐτῷ μὴ λέγετε· ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ[1] τοῖς 11
ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἐβουλήθην διὰ χάρτου[2] καὶ μέλανος·[3] 12
ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα
ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς[4] 13
σου τῆς ἐκλεκτῆς.[5] Ἀμήν.

[1] κοινωνέω, have a share of, share. [2] χάρτης, ου, ὁ, papyrus, sheet of paper. [3] μέλαν, ink. [4] ἀδελφή, ῆς, ἡ, sister. [5] ἐκλεκτός, chosen, elect.